


# ΑΚΟΛΟΥΘΙΑ

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νείλου τοῦ Ἀθωνίτου καὶ μυροβλύτου.

Ἐν ᾗ προσετέθη καὶ ὁ βίος καὶ ἡ ἀνακομιδὴ τῶν τιμίων λειψάνων αὐτοῦ, ἔτι δὲ καὶ αἱ ἀποκαλύψεις αὐτοῦ πρὸς τὸν αἰχμάλωτον περὶ τῆς καταστάσεως τοῦ ἁγίου Ὄρους.

www.imdleo.gr

# ΜΗΝΙ ΜΑΪΩ Η΄.

Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νείλου τοῦ Ἀθωνίτου καὶ μυροβλύτου.

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Τὸν νοῦν ἐλλαμπόμενος φωτί, Νεῖλε ἀξιάγαστε, τῆς τρισηλίου Θεότητος, ναὸς γεγένησαι, καθαρὸς καὶ θεῖος, τοῦ ἁγίου Πνεύματος, ἐμφάσεις νοερῶς εἰσδεχόμενος, διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀγγέλους συλλήπτορας σοφέ, ἔχων δυναμοῦντάς σε, τὰ τῶν δαιμόνων φαντάσματα, καὶ πανουργεύματα, ἀπεκρούσω Νεῖλε, τὴν ὁδὸν διήνυσας, τὴν φέρουσαν πρὸς θείαν κατάπαυσιν· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ψυχῆς καθαρότητι πολλῇ, Νεῖλε ἀξιάγαστε,

τῷ καθαρῷ ἐξομοίωσαι, Θεῷ καὶ Κτίστῃ σου, ἡ θυσία ζῶσα, αὐτῷ προσενήνεξαι, ὡς φύλαξ τῶν αὐτοῦ διατάξεων· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Λαβὼν ἐπωμάδιον Σταυρὸν, τοῦ Χριστοῦ πανόλβιε, ἐν τούτῳ πᾶσαν τὴν δύναμιν, τοῦ πολεμήτορος, καὶ τὰς ἐξουσίας, καὶ ἀρχὰς θεόσοφε, ἁπάσας τοῦ δεινοῦ κοσμοκράτορος, καταπεπάτηκας, καὶ ἀρίστως ἐθριάμβευσας, τοὺς ἀσάρκους, σαρκὶ τροπωσάμενος.

**Δόξα, Ἦχος β'.**

Ὅσιε Πάτερ, ἀξιάγαστε Νεῖλε τρισόλβιε, ἀγγελικὴν ζηλώσας διαγωγὴν, ἀτροφίαν ἐξήσκησας, καὶ ὕμνον ἀκατάπαυστον, τῷ Δεσπότῃ προσενήνοχας, ἐντεῦθεν προσηκάμενος, ὁ πάντα βλέπων, τῆς ψυχῆς σου τὴν πρόθεσιν, χαρίτων σε θείων κατηξίωσεν· ἐναργῆ σοι παρέχων τὰ σύμβολα, τῆς ἐκεῖ μενούσης σε ἀϊδιότητος, καὶ μακαρίας λήξεως, πρὸς ἣν ἤδη μεταστὰς, καὶ ταῖς ἀΰλοις χορείαις συνδιαιτώμενος, μὴ διαλίπῃς πρεσβεύων, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν, τῆς Ἑορτῆς.**

**Εἰς τὸν στίχον· Στιχηρὰ Προσόμοια· Ἦχος β'.**

**Οἶκος τοῦ Εὐφραθᾶ.**

Ὕμνοις χρεωστικῶς, τῶν ἀσκητῶν τὸ κλέος,

καὶ πάντων λαμπαδοῦχον, πληθὺς τοῦ Ἄθω δεῦρο, τον Νεῖλον μεγαλύνομεν.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Πόνοις τὸν Ἰησοῦν, ἐδόξασας διό σε, Νεῖλε ἀντιδοξάζει, ἐν θαύμασι ποικίλοις, καὶ μύρων ἀναβλύσεσιν.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Πάντας τοὺς τὸν ναὸν, τὸ ἄντρον σὺν τῷ τάφῳ, σοῦ κατασπαζομένους, ἀπάλλαξον λιταῖς σου, Νεῖλε παντοίων θλίψεων.

Δόξα, ὅμοιον.

Ψάλλατε ἐμμελῶς, οἱ μονασταὶ τοῦ Ἄθω, ἐπὶ τῇ μνήμῃ Νείλου, ἡμῶν λαμπροῦ φωστῆρος, καὶ ποδηγέτου σήμερον.

Καὶ νῦν. Θεοτοκίον, ὅμοιον.

Δέσποινα ἀγαθὴ, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

Ἀπολυτίκιον, Ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Μονάσας θεαρέστως ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, ἐν προσευχαῖς καὶ νηστείαις, τὸν Θεὸν ἐξεζήτησας, καὶ γέγονας δοχεῖον καθαρὸν, τοῦ Πνεύματος ἀστράπτων ταῖς αὐγαῖς, ἀρετῶν τὰς λαμπηδόνας, δι' ὧν φωτίζεις Νεῖλε

τοὺς βοῶντάς σοι· δόξα τῷ σὲ δοξάσαντι Θεῷ· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

**Καὶ τῆς Ἑορτῆς, καὶ Ἀπόλυσις.**

**Ἐν δὲ τῷ Μεγάλῳ Ἑσπερινῷ,** μετὰ τὸν **Προοιμιακόν, Στιχολογοῦμεν** τό, **Μακάριος ἀνήρ·**
**Εἰς δὲ τὸ Κύριε ἐκέκραξα,** ἱστῶμεν **Στίχους** η'. καὶ ψάλλομεν τῆς **Ἑορτῆς,** β'.
καὶ τοῦ ἁγίου **Στιχηρὰ Προσόμοια,** ς'.
**Ἦχος** α'. **Τῶν οὐρανίων ταγμάτων.**

Τὸν ἐν τῷ Ὄρει τοῦ Ἄθω, λαμπρῶς ἀσκήσαντα, καὶ καθελόντα πάσας, τοῦ ἐχθροῦ τὰς ἐνέδρας, νηστείαις ἀγρυπνίαις, εὐχαῖς καὶ ῥοαῖς, τῶν δακρύων ὑμνήσωμεν, Νεῖλον τὸν μέγαν ἐν ὕμνοις χρεωστικῶς, ὡς Θεοῦ θεῖον θεράποντα.

Νεῖλος τὴν Αἴγυπτον ἄρδει, καρποὺς ἐκφέρειν ποιῶν, σὺ δὲ ταῖς τῶν δακρύων, τὸ τοῦ Ἄθωνος Ὄρος, ῥοαῖς σου καταρδεύσας, καρποὺς ἀρετῶν, κατεκόσμησας Ὅσιε, εἰς ἑκατὸν ἐπαυ-

ξήσας πνευματικῶς, τὸ σὸν τάλαντον ὡς γέγραπται.

Τοὺς ἐν τῷ θείῳ σου ἄντρῳ, συναθροισθέντας πιστῶς, τὴν θείαν ἐκτελέσαι, σοῦ πανίερον μνήμην, ἐν ᾧ τοὺς ὑπὲρ φύσιν ἀγῶνας στερρούς, ἀνδρικῶς διετέλεσας, ἀλλ᾽ οὖν μὴ παύσῃ πρεσβεύων **Πάτερ** σοφέ, μιμητὰς ἡμᾶς δειχθῆναί σου.

**Ἕτερα Στιχηρὰ Προσόμοια, Ἦχος** πλ. δ΄.

**Ὢ** τοῦ παραδόξου θαύματος.

Νεῖλε θεόφρον πατὴρ ἡμῶν, διὰ τὴν ὄντως ζωήν, τῆς παρούσης ἠλόγησας, καὶ τοῖς πόνοις ἔκδοτον, σοῦ τὸ σῶμα παρέδωκας, πρὸς τὴν ἀγήρω καὶ ἀτελεύτητον, τρυφὴν ἐνθέως ἀποσκοπούμενος, ἧς καὶ ἐπέτυχες, σὺν ὁσίων τάγμασι διηνεκῶς, θρόνῳ παριστάμενος, τοῦ παντοκράτορος.

Ὅσιε **Νεῖλε** μακάριε, θείᾳ δυνάμει ῥωσθείς, τῶν δαιμόνων τὴν ἔπαρσιν, σταθερῶς κατέβαλες, καὶ εἰς γῆν ἐταπείνωσας, δύναμιν ἔχων σὲ ἐνισχύουσαν, καὶ δυναμοῦσαν **Χριστὸν** τὸν **Κύριον**, ὃν καθικέτευε, καὶ ἡμῖν δωρήσασθαι τοῖς εὐσεβῶς, μνήμην τὴν πανίερον, ἐπιτελοῦσί σου.

Νεῖλε τοῦ **Ἄθω** τὸ καύχημα, παντός τε Ὄρους τερπνόν, καὶ ἡδύτατον ἄκουσμα, σήμερον ἐξέλαμψας, ὡς φωστὴρ ἐκ τοῦ μνήματος, καταπυρσεύων πιστῶν συστήματα, διὰ τῆς χάριτος τῶν λειψάνων σου, ὅθεν γηθόμενοι, λάρνακα κυ-

κλοῦμέν σου τὴν ἱεράν, τάφον καὶ τὸ σπήλαιον, κατασπαζόμενοι.

Δόξα, Ἦχος πλ. β΄.

Εἰς ὄρος ὑψηλῆς ἐπιβὰς πολιτείας, τὸ μέγα Ὄρος κατέλαβες τὸ τοῦ Ἄθωνος, ἵν᾿ ἔχεις ὡς εἰκόνα τῶν ἀοράτων τὰ ὁρώμενα· δέονται γὰρ πόνων καμάτων, τὰ τραχέα καὶ ὑψηλὰ πρὸς ἀνάβασιν· ἀναβὰς δέ τις ἄνω, ὁρᾷ τὰ πόρρω καὶ κάτω· οὕτω σὺ μακάριε Νεῖλε, συνεργὸν ἔχων φερωνυμοῦντά σε, τὸν σὸν κατὰ σάρκα, καὶ κατὰ πνεῦμα θεῖον Μακάριον, ὡς Μωϋσῆς τὸν Ἀαρών, καὶ ὡς Ἠλίας τὸν Ἐλισσαῖον· οἳ τὸ Σίναιον καὶ τὸν Κάρμηλον ἔχοντες ἐνδιαίτημα, τὰς ὑψηλὰς θεοπτίας, καὶ προφητείας ἑώρων· οὕτως ὑμεῖς Ἀθωοικοῦντες, τῶν μεγίστων καὶ ὑπερτάτων θεωριῶν, τὴν γνῶσιν εἰλήφατε, καὶ πᾶσι τοῖς μονασταῖς ὑπογραμμὸς ἀνεδείχθητε· ἔχοντες οὖν πρὸς Θεὸν παρρησίαν, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Εἴσοδος· τὸ Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλ-

μοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ, ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται

ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλείσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ οἱ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Σοφίας Σαλομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας, μεταλλεύει

νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτήν· Ἰδιόμελα, Ἦχος α'.

Ἔπρεπε τοῖς τὸν Ἄθω οἰκοῦσι μονοτρόποις, τὴν τούτου βασιλίδα καὶ Δέσποιναν, κατὰ πρῶτον ἐγκωμιάζειν· ἐξαιρέτως δὲ ἐν τῷ χώρῳ τούτῳ, ἐν ᾧ τοῖς ὁσίοις ὤφθη πατράσι, καὶ ὡς θεογράφους πλάκας, τὰς σωτηρίους ἡμῖν, διὰ Πέτρου τοῦ θεράποντος αὐτῆς, ἐπαγγελίας ἐπηγγείλατο, καὶ τῶν μετ' ἐκεῖνον πατέρων· οὗτοι γὰρ ὡς Μωϋσῆς ἐν Σιναίῳ, ἐν τῷ δὲ παροικοῦντες τόπῳ, οὐχὶ τυπικῶς ὡς ἐκεῖνος διὰ τῆς βάτου, καὶ λεπτοτάτης αὔρας, ἀλλὰ τηλαυγῶς τὴν Κυρίαν τοῦ παντὸς ἰδεῖν ἠξιώθησαν, καὶ ὁμιλίας ἔτυχον· διὸ καὶ ἡμεῖς οἱ ἐν τῇ ἁγίᾳ ταύτῃ πέτρᾳ, ἐν ᾗ ὁ σήμερον ἑορταζόμενος θεῖος Νεῖλος, τὸν ναὸν αὐτῆς ἀνῳκοδόμησε, καὶ θυσίας ἐν τούτῳ ἀναιμάκτους, ὡς λειτουργὸς τῷ Θεῷ προσήνεγκε, μελῳδικῶς λιτανεύοντες κράζομεν· Παναγία Παρθένε ἁγνή, ἁγίως ἀξίωσον ἡμᾶς πολιτεύεσθαι, καὶ ἐν ἁγνότητι καὶ παρθενίᾳ, καὶ ἀκαταγνώστῳ μετανοίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

## Ὁ αὐτός.

Ἀγάλλου ἐν Κυρίῳ, ἡ περιώνυμος Λαύρα, τοῦ Ὁσίου Ἀθανασίου, ἡ πάλαι μὲν τὸν θεῖον Νεῖλον, ἐν ταῖς ἀγκάλαις αὐτῆς αὐξήσασα, παντοίαις χάρισιν ἀρετῶν κεκοσμημένον, νῦν δὲ ὡς θησαυρὸν κεκρυμμένον, τὰ χαριτόπνοα τούτου λείψανα εὑροῦσα, πᾶσιν ὀρθοδόξοις, τὴν ἀκένωτον χάριν ἐχορήγησε· διὸ ἑορτὴν ἐτήσιον τελοῦντες, τὴν χαρμόσυνον μνήμην αὐτοῦ, τοῖς νοητοῖς ἄνθεσι στεφανώσωμεν, Χριστὸν τὸν ἀναστάντα, καὶ πάντας ἀναστήσαντα δοξάζοντες.

## Ὁ αὐτός.

Εὐφραίνου ἐν Κυρίῳ, Ὁσίων Ἄθω τὸ κλέος, Ἀθανάσιε πανἀοίδιμε· σὺ γὰρ συνήγαγες θεοφεγγεῖς ὡς φωστῆρας, πληθὺν Ὁσίων Πατέρων ἐν τῇ μεγίστῃ σου, καὶ ἀριζήλῳ Λαύρᾳ, ἣν ἐπὶ γῆς ὡς οὐρανόν, καὶ ὡς Παράδεισον ἄλλον ἀνέδειξας· δι᾽ ἧς ὡς ἄνθη πανεύοσμα, καὶ ὡς ἀστέρες ἐκπέμπουσιν εὐωδίαν καὶ λαμπρότητα, ἐξ ἧς ἐξήνθησαν, καὶ αὐγάζουσιν ὀνομαστί, Πέτρος ὁ μακάριος, καὶ Μάξιμος ὁ θεηγόρος, σὺν Γρηγορίοις καὶ Νικηφόροις, Ἰωάννης τε ὁ μελῳδός, καὶ ὁ νηφάλιος Νήφων, καὶ σὺν Μάρκῳ ὁ Θεόδωρος, μεθ᾽ ὧν ὑστάτως ὁ Ἀκάκιος, καὶ ὁ θεόσοφος Νεῖλος ἐν τῇ μνήμῃ αὐτοῦ, μετὰ καὶ τῶν ἀνω-

νύμως εὐαρεστησάντων τῷ Θεῷ ἐν τῷ χώρῳ τούτω, χειραγωγεῖ ἡμᾶς, ὁμοῦ τε καὶ ἰδίως πανηγυρίζειν καὶ ἀνυμνεῖν αὐτόν.

## Ἦχος β΄.

Θαυμαστὸς εἶ ὁ Θεός, καὶ τῶν θαυμασίων σου πέρας ὅλως οὐκ ἔστιν· ἰδοὺ γὰρ ἐν τῇ καθ᾽ ἡμᾶς γενεᾷ, μετὰ πολυχρόνιον ἐν γῇ κατάκρυψιν ἀπεκάλυψας, τοῦ σοῦ θεράποντος Νείλου τὰ λείψανα, εὐωδίαν ἄρρητον ἐκπνέοντα, καὶ πηγὰς θαυμάτων προχέοντα, ἅπασι τοῖς πόθῳ προσιοῦσιν· ὅθεν καὶ ἐνίσχυσας ἡμᾶς, ἐξασθενήσαντας ταῖς ἀφορήτοις φορολογίαις, καὶ πρὸς ἅμιλλαν ἤγειρας, ναὸν πρὸς ἀνάμνησιν τοῦ θαύματος οἰκοδομήσειν· ἐν ᾧ ἐτησίως ἀθροιζόμενοι δοξάζομεν, τὸν ἐπὶ γῆς σε δοξάσαντα Ὅσιον.

## Ἦχος γ΄.

Ὁμωνύμως τοῖς νειλῴοις νάμασι κληθείς, κατὰ ἀπόρρητον οἰκονομίαν, φερώνυμος ἐδείχθης, Νεῖλε μακάριε, ὡς γὰρ ἐκεῖνα ἐτησίως ἀναβαίνοντα, πρόξενα γίνονται νέας χρονικῆς καρποφορίας, οὕτως αὐτὸς ἐτησίως, ἡμῖν ἐμφανιζόμενος, διὰ τῆς ἐτησίου σου μνήμης, ἀρδεύων τὴν ἀκαρπίαν τῶν ψυχῶν ἡμῶν, εἰς πνευματικὴν καρποφορίαν μετασκευάζων, καὶ διεγείρων πρὸς μίμησιν τῶν ἐναρέτων σου κατορθωμά-

των, διὰ τῆς καινουργούσης ἡμᾶς μετανοίας· οὕτως οὖν ἀξιωθεὶς παρὰ Θεοῦ, δώρησαι ἡμῖν φερωνύμως, πάσας τοῦ παρόντος ἔτους τὰς ἡμέρας καρποφόρους, προσενεγκεῖν τῷ Χριστῷ, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὁ αὐτός.

Ταῖς μυστικαῖς χρυσορρείθροις νάμασι, τῶν ἱερῶν σου λειψάνων προσερχόμενοι, χορήγησον ἡμῖν ἁγιώτατε Πάτερ, ρῶσιν καὶ ὑγείαν ψυχῇ τε καὶ σώματι πρέπουσαν, μεσιτεύων ὡς ἱερεὺς ὑπὲρ ἡμῶν πρὸς τὸν Σωτῆρα, ἁμαρτιῶν ἄφεσιν λαβεῖν, καὶ ἀκατακρίτους ἡμᾶς παραστῆσαι αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος δ'.

Εὐφράνθητι ἔρημος διψῶσα, Ἡσαΐας προορῶν τῆς νῦν ἐρήμου τοῦ Ἄθω, τὴν πνευματικὴν οἴκησιν ἔλεγεν· ἰδοὺ γὰρ τὰ τραχέα καὶ σκολιά, καὶ ὅλως ἀδιώδευτα τοῦ Ὄρους μέρη, ὡς πόλις εὐπρεπὴς ὁρᾶται οἰκούμενα, καὶ τὰ σκολιὰ εἰς εὐθέα, καὶ τὰ ἄβατα εὐδιάβατα, καὶ τὰ ἄκαρπα κάρπιμα, ὡμάλισε γὰρ αὐτὰ Χριστὸς ὁ Θεός, διὰ τῶν δούλων αὐτοῦ· οἳ ὡς Παράδεισον τερπνὸν τρυφῆς, καὶ οὐρανὸν λαμπρὸν ἐποίησαν, ἀληθῶς τὸν τόπον τοῦτον· ὧν ταῖς λιταῖς διατήρησον Χριστὲ ὁ Θεός, εἰς τοὺς αἰῶνας ἀδιάφθορον.

## Ὁ αὐτός.

Η πέτρα τῆς ζωῆς, ἡ ἔντιμος καὶ ἀκρογω-
νιαία, ὁ ἀληθὴς θεμέλιος καὶ ἀσάλευ-
τος εἰς τὸν αἰῶνα, ὁμωνυμοῦντα τῷ γράμμα-
τι τὸν Ἄθωνα εὑροῦσα, ἐπὶ τὰ τούτου σκληρὰ καὶ
πετρώδη, τὴν πρώτην εὐαγγελικὴν ζωὴν, ᾠκοδόμη-
σεν ἀσάλευτον· Μάρτυρες γὰρ ἀληθείας οἱ ὅσιοι, οἳ
ἀνεκλείπτως κοσμοῦσι τὸν τόπον τοῦτον· καὶ γὰρ
μετὰ Πέτρον, καὶ Εὐθύμιον, καὶ Ἀθανάσιον τὸν
πανθαύμαστον, Μάξιμόν τε καὶ Νήφωνα, καὶ Ἰω-
άννην, Νεῖλος ὁ μακάριος διέπρεψεν, οἳ πολλοὺς
εἶχον τοὺς ὀπαδοὺς, μεθ᾽ ὧν Ἀκάκιος ὁ ἀοίδιμος,
οὗτοι τὴν βαθυτάτην ταύτην ἔρημον, κατὰ και-
ροὺς ἰδίους κοσμοῦντες, τὴν ὑψηλοτάτην καὶ ἀκλό-
νητον, εὐαγγελικὴν ζωὴν ἠκολούθησαν, ἣν ὀπαδοὶ
αὐτῶν ἀσκηταὶ λαβόντες, κρατοῦσιν ἀπαράβατον·
στήριξον ἡμᾶς Χριστὲ, ἡ ἀσάλευτος πέτρα τῆς
ζωῆς, φυλάττειν αὐτὴν ἀκίβδηλον, ταῖς πρεσβείαις
τῶν ὁσίων σου.

## Δόξα. Ἦχος πλ. α΄.

Σήμερον ὡς ἀληθῶς, ἡ μυστικὴ αὕτη ἑ-
βδόμη, ἡ τοῦ Ὁσίου καὶ θαυμασίου
Νείλου, τὰ λείψανα ἀνακαλύψασα, τῆς
πάλαι ἑβδόμης ἐκείνης φέρει ὁμοίωσιν,
ὅτε ὁ Σταυρὸς ἐν οὐρανῷ, ἔλαμψεν ἡλίου φαιδρό-

τερον· οὕτω τὰ σταυροφόρα τοῦ Θεοσόφου ὀστᾶ, ἐκ γῆς ἀναλάμψαντα, ὡς ἔμπλεα τερπνοτάτης εὐωδίας θείου φωτισμοῦ καὶ λαμπρότητος, ἔπλησαν πάντας τοὺς παρευρεθέντας· ὅθεν ἀγαλλόμενοι ἐν ψαλμοῖς ἢ ὕμνοις, τὴν ἁγίαν Λαύραν κατέλαβον, καὶ ὡς θησαυρὸν πολύτιμον ἐναπέθεντο, ἰάματα παρέχοντα, πᾶσι τοῖς πιστῶς προσιοῦσι, καὶ εὐλαβῶς ἀσπαζομένοις· τὴν ἀνάμνησιν οὖν ταύτην ἑορτάζοντες, παννύχιον προσφέρομεν, τῷ Χριστῷ δοξολογίαν, τῷ δοξάσαντι τὸν αὐτοῦ θεράποντα.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον· Στιχηρὰ Προσόμοια, Ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Οἶκον Παρθενομῆτορ ἁγνή, οἱ φοιτηταί σου εὐλαβῶς σοι ἀνέθεντο, τὸ Ὄρος τοῦτο τοῦ Ἄθω, ἐν ᾧ οἰκεῖς νοερῶς, οὐρανὸν ὡς ἄλλον τοῦτο δείξασα· ἰδοὺ γὰρ ἐξέλαμψαν, ὡς φωστῆρες ὑπέρλαμπροι, φωτὸς τοῦ θείου, τὰς ἀκτῖνας δεξάμενοι, καὶ ἐκλάμπουσιν, ἀρετῶν ταῖς φαιδρότησι, φῶς ὡς ἀειλαμπέστατον, τὴν χάριν τοῦ Πνεύματος, τὴν ἐνοικήσασαν τούτοις, παρὰ τοῦ σοὶ ἐνοικήσαντος, Χριστοῦ ὃν δυσώπει, καὶ ἡμᾶς ἀξιωθῆναι φωτὸς τοῦ οἴκου σου.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Στύλος φωτοειδὴς ἀρεταῖς, ἐστηριγμένος καὶ

νεφέλη σκιάζουσα, οἱ θεῖοι ἡμῶν πατέρες, ἐφάνησαν ἀληθῶς, μοναχῶν τὰς τάξεις ποδηγούμενοι, ὁ Πέτρος Εὐθύμιος, ὁ λαμπρὸς Ἀθανάσιος, Μάξιμος Νήφων, καὶ ὁ Νεῖλος ὁ ἔνδοξος, οἱ τρισόλβιοι, οὗτοι γὰρ συνεκάλεσαν, ἡμᾶς πάντας σήμερον, Νείλου τοῦ θείου τὴν μνήμην, πνευματικῶς ἐκτελέσαντες, μεθ᾽ οὗ δυσωποῦσι, τὸν Χριστὸν ἡμῖν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Χαίροις ὁ ἐπ᾽ ἐσχάτων φανείς, Νείλων τῶν πάλαι, ἀτεχνῶς ἀφομοίωμα· τὸν βίον γὰρ τούτων Πάτερ, φερωνυμήσας καλῶς, ἀρετὴν ἀσκήσας πεπολίτευσαι, φανεὶς καθαρώτατον, ἀκηλίδωτον ἔσοπτρον, ἀκτινοβόλους, ἀστραπὰς εἰσδεχόμενον, τὰς τοῦ Πνεύματος, ὡς ἐκεῖνοι πανόλβιε, ὅθεν καταυγαζόμενος, ἑώρας τὰ μέλλοντα, πάντα προλέγων ἐκ θείας, φωτοφανείας μυούμενος, Χριστοῦ ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα, Ἦχος πλ. δ΄.

Τῶν ἀσκητῶν τὰ πλήθη, τῶν ἐν ἐρήμοις τοῦ Ἄθω, ὡς καθηγητήν σε τιμῶμεν, Νεῖλε Πατὴρ ἡμῶν· διὰ γάρ σου τὴν τρίβον, τὴν ἐν ἀβάτοις τόποις ὁδεύομεν· χειραγωγόν σε προστάτην ἐν πει-

ρασμοῖς κεκτημένοι, καὶ ἄγρυπνον φύλακα· ἰδοὺ γὰρ ταῖς λιταῖς σου, ἡ Σκήτη αὕτη, ἡ σὲ ἐτησίως, καὶ καθ' ἑκάστην γεραίρουσα, ὡς ῥόδον ἐν ἀκάνθαις διαμένει ἀμάραντον, φρούρησον μακάριε, ἀειθαλλῆ εἰς αἰῶνας, καὶ ἀξίωσον ἡμᾶς μιμητάς σου γενέσθαι, καὶ κληρονόμους τῶν χαρισμάτων σου.

**Καὶ νῦν, τῆς Ἑορτῆς.**

Ἀπολυτίκιον, (ὅρα ἐν τῷ μικρῷ ἑσπερινῷ.)

**Δόξα, ἕτερον, ὅμοιον.**

**Τοῦ λίθου σφραγισθέντος.**

Μοναστῶν πληθὺς πᾶσα, ἡ τὸν Ἄθω οἰκοῦντες, συνελθόντες τὴν μνήμην ἐκτελέσωμεν πόθῳ, τοῦ Νείλου ἐν ᾄσμασι τερπνοῖς, τιμῶντες αὐτὸν χρεωστικῶς, θαυμασίων ἐξαισίων, καὶ διδαχῶν ἐνθέων ὡς ὄντα, ὑφηγητὴν βοῶντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ μεγαλύναντι· δόξα τῷ τὴν σεπτήν σου μνήμην φαιδρύναντι.

**Καὶ νῦν, τῆς Ἑορτῆς.**

ΙΕΡΟΜΟΝΑΧΟΣ
ΑΡΣΕΝΙΟΣ ΒΑΡΔΑΒΑΣ
ΟΔΟΝΤΙΑΤΡΟΣ
ΚΑΡΥΑΙ - ΑΓΙΟΝ ΟΡΟΣ

# Ἐν δὲ τῷ Ὄρθρῳ.

**Μετὰ τὴν α΄. Στιχολογίαν. Κάθισμα·**

**Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.**

Διὰ νηστείας ἀκραιφνοῦς Νεῖλε θεόφρον, ἀπονεκρώσας τῶν παθῶν ἐπαναστάσεις, τοῦ Χριστοῦ ὁ ἔρως σοι ἔδωκε τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶν τε καὶ μετὰ τέλος θαυματουργεῖν, ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα τὰ σά, ἐκβλύζουσιν ἰάματα, πᾶσι τοῖς πίστει θερμῇ σοι προστρέχουσιν.

**Δόξα, ἕτερον.**

**Τὴν Σοφίαν καὶ Λόγον.**

Μονασταὶ καὶ μιγάδες πάντες ὁμοῦ, ἀθροισθέντες ὁρᾶτε θαῦμα φρικτόν, Νεῖλος ὁ θαυμάσιος, ὥσπερ ζῶν νῦν ἐξέλαμψεν, διὰ τῶν λειψάνων, τῶν αὐτοῦ θαυμασίως, τοῖς πᾶσιν ἀνάστασιν, ἐκκηρύτων τοῖς πέρασι, τὰς ἰάσεις παρέχοντα· ὅθεν ἀντὶ μύρων, εὐωδίας τὴν χάριν, προχέει τὴν σήμερον, τοῖς ἐκ πόθου γεραίρουσι, τῶν λειψάνων τὴν εὕρεσιν, βλύζουσαν θαυμάτων κρουνούς, καὶ ἰάσεων ρεῖθρα ἀκένωτα, τὴν ἐνέργειαν τοῦ Σωτῆρος δεξάμενα.

**Καὶ νῦν, τῆς Ἑορτῆς.**

**Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα·**

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Ἐκ βρέφους τῷ Θεῷ, Νεῖλε Πάτερ ἐδείχθης, ὡς δῶρον ἱερὸν, καὶ τῷ κτίσαντι πρέπον, προθύμως τὸν ζυγὸν αὐτοῦ, τὸν χρηστὸν ἐκ νεότητος, ἄρας ἄγευστον, τύρβης τοῦ βίου τηρήσας, πᾶσαν αἴσθησιν, διὸ ὡς ἄσαρκος μάκαρ, ἐν γῇ εὐηρέστησας.

Δόξα, ἕτερον, ὅμοιον.

Ὁ τάφος σου σοφὲ, καὶ τὸ ἄντρον σου τοῦτο, θαυμάτων ἀστραπαῖς, καταλάμπουσι πάντας, τοὺς πόθῳ προσιόντας σοι, καὶ θερμῶς ἐκτελοῦντάς σου, τὴν σεβάσμιον, καὶ φωτοφόρον ἡμέραν, ἣν ἐξήνθησεν, ἡ τῶν λειψάνων σου χάρις, ὡς ῥόδον τερπνότατον.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα·

Ἦχος, γ'. Τὴν ὡραιότητα.

Τὴν καρτερίαν σου, καὶ τοὺς ἀγῶνάς σου, πάντες θαυμάζουσιν, οἱ καθορῶντές σε, ὑπομονῆς τὸ καρτερὲς, ἐν τούτῳ σου τῷ σπηλαίῳ, πῶς οὐκ ἐδειλίασας, τῆς ἐρήμου τὸ ἄγριον, πῶς σε οὐκ ἐπτόησε, τὸ τραχὺ καὶ σκληρότατον· διό σε εὐφημοῦντες βοῶμεν· δόξα Χριστῷ τῷ σὲ δοξάσαντι.

Δόξα, ἕτερον, ὅμοιον.

Ὡς εὐωδέστατον, κρίνον ἐξήνθησεν, ἐκ τάφου σήμερον, Πάτερ σὰ λείψανα, ὀσμὴν ζωῆς

τῆς ἐν Χριστῷ, ἀφώνως ἀναβοῶντα· χρόνους γάρ κρυπτόμενα, ὑπό γῆν ἀδιάφορα, πνέουσιν ἀείζωον, εὐωδίαν ἰάσεων, διό καί εὐχαρίστως βοῶμεν· δόξα Χριστῷ τῷ ἀναστάντι.

Καί νῦν τῆς Ἑορτῆς.

Οἱ ἀναβαθμοί· τό α΄. Ἀντίφωνον, τοῦ δ΄. Ἤχου.

Προκείμενον, Ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου.
Στίχ. Μακάριος ἀνήρ ὁ φοβούμενος.
Τό, Πᾶσα Πνοή. Εὐαγγέλιον Ὁσιακόν.
Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καί νῦν. Ταῖς τῆς Θεοτόκου.

Καί τό Ἰδιόμελον, Ἦχος β΄.

Εἰσελθών διά τῆς στενῆς καί τεθλιμμένης ὁδοῦ, Νεῖλε πανόσιε, πρός πλάτος εὐαγγελικῶς, βασιλείας οὐρανῶν ἔφθασας, ἐκτιναξάμενος φθοράν σαρκός, εἰς ἄφθαρτον νῦν κατήντησας ζωήν, Πάτερ παγκόσμιε.

Οἱ Κανόνες: ὁ Κανών τῆς Ἑορτῆς μετά τῶν Εἱρμῶν εἰς ς΄. καί τοῦ ἁγίου οἱ δύο εἰς η΄.

Ὁ Κανών τοῦ ἁγίου. Ὠδή α΄. Ἦχος δ΄.

Ἀνοίξω τό στόμα μου.

Ταῖς θείαις λαμπρότησι, καταυγαζόμενος Ὅσιε, τό νέφος διάλυσον τῆς διανοίας μου, ὅπως μέλ-

ψω σου, τὸν βίον Νεῖλε Πάτερ, καὶ τὰ κατορθώματα τῆς πολιτείας σου.

Ὀρθρίσας πρὸς Κύριον, δικαιοσύνης τὸν ἥλιον, ἐκ βρέφους πανόλβιε, σκότος διέφυγες, τῶν τοῦ σώματος, παθῶν δι' ἐγκρατείας, καὶ χάριν ἐπλούτησας, Νεῖλε οὐράνιον.

Νοὸς καθαρότητα, δι' ἀπαθείας κτησάμενος, τοῦ Πνεύματος γέγονας, κατοικητήριον, Νεῖλε ὅσιε, τῶν ἀσκητῶν τὸ κλέος, πατέρων ἀγλάϊσμα, φωστὴρ παγκόσμιε.

Θεοτοκίον.

Σὺ μόνη Θεόνυμφε, τὸν ἐν ὑψίστοις καθήμενον, ἀγκάλαις ἐβάστασας, σάρκα φορέσαντα, σὺ γὰρ πέφηνας, ἐκ πάντων τῶν αἰώνων, δοχεῖον ἐπάξιον, τοῦ παντοκράτορος.

Ἕτερος Κανὼν τοῦ ἁγίου, Ὠδὴ α'.

Ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

Σοφίας ὅλως ἀμυήτως ἔχοντι, πρὸς δὲ καὶ μὴ καθαρῷ, ὄντι συμπαθείᾳ, βλέψον πανάοιδιμε, τὸν ὕμνον τοῦτον μέλποντι, διακαοῦς ἐκ πόθου, ὃν πρὸς σὲ ἔχω τὸν ρύστην μου, ὅθεν δυσωπῶ σε φωτίσαι με.

Ἄγει τοῦ Ἄθω μοναστῶν ὁμήγυρις, ἐπὶ τὴν μνήμην πιστῶς, Νείλου τοῦ τὸν βίον, στίλβοντα ὡς ἔσοπτρον, ἀνύσαντος καὶ χάριτας, ἀρυσόμε-

θα πόθῳ, τούτου τὸν βίον μιμούμενοι, ἔχοντες αὐτὸν ἀντιλήπτορα.

Δόξα

Ρητόρων τέχναι καὶ σοφῶν· αἱ μέθοδοι, σιγᾶτε ἅπασαι καὶ γάρ, ὄντως θεία χάρις, ἄνωθεν ἐφοίτησε, καὶ Νεῖλον τὸν θεόφρονα, ἐκ χειλέων ἀπείρων, νηπίων ξένως ἐδόξασε, ξένως ἐπὶ γῆς τὸν βιώσαντα.

Καὶ νῦν Θεοτοκίον.

Ὅτε τὰ ἔθνη ὁ Θεὸς ἐμέριζε, κατὰ Ἀγγέλους αὐτοῦ, τότε σὲ Παρθένε, προγινώσκων ἔσεσθαι, αὐτοῦ Μητέρα ἄχραντον, σοὶ ἀπένειμε τοῦτο, τὸ μέγα Ὄρος καὶ κάλλιστον, εἰς κληρονομίαν ἀπόλεκτον.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ, γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ὁλόνυκτον Πάτερ ἱκεσίαν, ἀγρύπνῳ προσφέρων λογισμῷ, Θεῷ τῷ παντοκράτορι, πάθη σαρκὸς ἐκοίμησας, ὅθεν προστάτης ἄγρυπνος, πάντων ἡμῶν ἐχρημάτισας.

Νεκρώσας τὰ μέλη ἐγκρατείᾳ, ἐζώωσας Πάτερ τὴν ψυχὴν, ταῖς θείαις ἐπιδόσεσι, τῶν ἀρετῶν νευρούμενος, παντουργικαῖς δυνάμεσι, Νεῖλε τοῦ Ἄθω τὸ καύχημα.

Γευσθεὶς τοῦ Θεοῦ σοφῶν ῥημάτων, καὶ γνώσεως τούτου μετασχὼν, ἡσύχως διετέλεσας, τὴν σὴν ζωὴν τοῖς ὄρεσι, καὶ τοῖς σπηλαίοις ὅσιε, ταῖς

κακουχίαις θλιβόμενος.

Θεοτοκίον.

Ἐλέους σου Κόρη ταῖς ρανίσι, τοὺς ἄνθρακας σβέσον τῶν ἐμῶν, παθῶν θεοχαρίτωτε, καὶ ἐσβεσμένον ἄναψον, τὸν λύχνον τῆς καρδίας μου, χρυσὴ λυχνία ὑπάρχουσα.

Ἄλλος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἀπογυμνώσας σεαυτόν, γηΐνων ἀπὸ παντοίων, ἀνεκτήσω τὸν οὐράνιον ὄλβον, τὸν γὰρ τάφον σου σοφέ, τῶν μύρων σου ἐνέπλησας, καλῶν ἀπὸ παντοίων, καταπλουτῶν τοὺς ὑμνοῦντάς σε.

Νῶτα οὐ δέδωκας ἐχθρῷ, ἐν τῷ παλαίειν σε Νεῖλε, ἀλλ᾽ ὠράθης εὐθυβόλος ρομφαία, καὶ ὀργῆλον τὴν αὐτοῦ, καὶ βέβηλον κατέτρωσας, καρδίαν καὶ ἀνδρείως, τοῦτον ποσί σου κατέρραξας.

Δόξα.

Ὃν ἐθεώρεις ἀκλινῶς, νοός σου τῷ τελεσκόπῳ, νῦν λυθέντων τῶν ἐσόπτρων παμμάκαρ, καθαρῶς Νεῖλε σοφέ, τὸ κάλλος τὸ ἀμήχανον, ἐπαπολαύων τούτου, τοῖς ὑμνηταῖς σου πρυτάνευσον.

Καὶ νῦν, Θεοτοκίον.

Νεύσει σου Μήτηρ τοῦ Θεοῦ, προνοουμένη Ὄρους τοῦ Ἄθω, σὺ ἐνέπλησας ἀζύγων τὸ πρανῆ, μοναστῶν τῶν κατ᾽ ἀρχὰς ἀμιλουμένων Δέσποινα, Ἀγγέλοις νῦν δὲ φεῖσαι, τῶν ἀμελῶν Παναγία μου.

Καταβασία. Δεῦτε πόμα πίομεν καινόν.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ζωῆς ἐφιέμενος, τῆς ἀκηράτου σοφέ, τοῦ κόσμου τὴν τερπνότητα, ὥσπερ ἐπίβουλον, παρεῖδες καὶ σκύβαλα, ὅθεν ἐν εὐφροσύνῃ, ὁσιώτατε Νεῖλε, ἦλθες ἐπὶ τὸ Ὄρος, τὸ τοῦ Ἄθω προθύμως, ἐν ᾧ τῶν μεμνημένων σου μέμνησο πάντοτε.

Δόξα, ἕτερον. Ἐπεφάνης σήμερον.

Ἐν ὁσίοις ὅσιος, ὕστατος ὤφθης, φέρων ὡς ἀρχέτυπα, τὰ τῶν ἀρχαίων ἀληθῶς, τοὺς σοὺς ἀγῶνας καὶ ἔπαθλα, ἐν οἷς εὐφραίνεις, τοὺς πίστει τιμῶντάς σε.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Ὠδὴ, δ΄. Τὴν ἀνεξιχνίαστον.

Ῥώμῃ τε καὶ χάριτι παντουργικῇ, τοῦ παμβασιλέως Θεοῦ ἡμῶν, τὰς πανουργίας, τῶν ἀσάρκων δυσμενῶν, ὁλοσχερῶς διέφυγες, Νεῖλε θεοφόρε πατὴρ ἡμῶν.

Ἀγαλλιασώμεθα πνευματικῶς, μνήμην ἐκτελοῦντες πανέορτον, σημειοφόρου, καὶ σεπτοῦ ἡμῶν πατρὸς, οὗ τινος ταῖς δεήσεσι, πάντων δυσχερῶν ἐκλυτρούμεθα.

Ἴασιν ἀέναον σοῦ ἡ σορὸς, Νεῖλε ἀναβλύζει μακάριε, τοῖς προσιοῦσι, καὶ καθαίρει μολυσμοὺς, σαρκὸς ὁμοῦ καὶ πνεύματος, ὦ Πάτερ

πατέρων θεόληπτε.

Θεοτοκίον.

Ρῦσαι ἡμᾶς Πάναγνε ταῖς σαῖς λιταῖς, πάντων τῶν σκανδάλων τοῦ ὄφεως, καὶ τῶν παγίδων, καὶ ἰάτρευσον ἡμῶν, τὰ χαλεπὰ νοσήματα, ταῖς πρὸς τὸν Υἱόν σου ἐντεύξεσιν.

Ἄλλος. Εἰσακήκοα. Κύριε.

Μεμνημένη σου ἅγιε, ἡ πληθὺς τοῦ Ἄθω ἡ θεοσύλλεκτος, ἄγει μνήμην πανευφρόσυνον, καὶ μετρίως ἄγεται πρὸς μίμησιν.

Εἷς ὑπάρχων ὁ πόθος σου, καὶ τοῖς ἐκτελοῦσί σου τὸ μνημόσυνον, πάσης βλάβης ἀπολύτρωσαι, τοῦ δολίου μάκαρ κοσμοκράτορος.

Δόξα.

Ἵνα τύχω ἀφέσεως, τῶν ἁμαρτιῶν μου ὁ πολυώδυνος, δός μοι οἶνον κατανύξεως, καὶ ἀγαλλιάσεως τὸ ἔλαιον.

Καὶ νῦν, Θεοτοκίον.

Σὺ τοῦ ᾅδου ἡ νέκρωσις, καὶ τοῦ Ὄρους Δέσποινα θεία ἔγερσις, τῶν ἐν ᾅδῃ τε ἡ λύτρωσις, καὶ τῶν ἐν τῷ Ἄθῳ ἡ βοήθεια.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ, ε΄. Ἐξέστη τὰ σύμπαντα.

Παθῶν κατεφρόνησας, σαρκὸς θεομακάριστε, τῇ ὑπερβαλλούσῃ ἐγκρατείᾳ, ὅθεν σοι χάρις θεί-

α δεδώρηται, πάθη θεραπεύειν τῶν πιστῶς, Νεῖλε προσιόντων σοι, καὶ τελούντων τὴν μνήμην σου.

Αγίως τὸν βίον σου, παμμάκαρ διετέλεσας, ὅθεν τοῖς ἁγίοις συνετάγης, τοῖς ἀπ᾽αἰῶνος Θεῷ δουλεύουσι, πάντων ἁγιάζων τὰς ψυχὰς, πόθῳ τῶν ὑμνούντων σου, τὰ σεπτὰ κατορθώματα.

Μακάριος γέγονας, τῷ ὄντι Νεῖλε Ὅσιε, σὺ γὰρ ἐν ὁδῷ δικαιοσύνης, τοῦ παντεπόπτου Θεοῦ πεπόρευσαι, ἄκακος καὶ πρᾷος γεγονὼς, καὶ ταῖς ἀναβάσεσι, ταῖς καλαῖς σεμνυνόμενος.

Θεοτοκίον.

Μακρὰν τὸ ἀνθρώπινον, Θεοῦ Παρθένε γέγονε, σοῦ γὰρ συλλαβούσης τὸν Σωτῆρα, ἀνερμηνεύτως θεοχαρίτωτε, πάλιν εἰς Παράδεισον μολεῖ, πίστει μακαρίζων σε, Θεοτόκε πανύμνητε.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Οὗ τοῦ κάλλους ἐτρώθης, ᾀσματίζων ἔκραζες Νεῖλε θεόσοφε, ποῦ ποιμαίνεις Λόγε ὡς ἀρνία, ὁσίων τὰ πνεύματα, οἷς συμποίμανόν με, καὶ ἀρωμάτων τῶν ἐκείνων, τὴν ψυχήν μου νυμφίε μου πλήρωσον.

Ἵνα τί βοᾷς πρός με, ἔφη ὁ νυμφίος σου Νεῖλε πανόσιε, ἡ ἀπὸ λιβάνου, σοῦ σπηλαίου καλὴ ἡ πλησίον μου, ἡ περιστερά μου, πτέρυγας εὐχῆς κεχρυσωμένας, σὺ λαβοῦσα πλησίον πετάσθητι.

Δόξα.

Μελῳδοῦμέν σοι Πάτερ, ταπεινοῖς ἐν ᾄσμασι Νεῖλε τὰ τέκνα σου, καὶ ἐκλιπαροῦμεν, ἱκετεύοντες σοῦ κατ᾽ ἐνώπιον, μὴ ἀποστερήσῃς, τῆς πατρικῆς σου προστασίας, τοὺς ἐσχάτως ἡμᾶς κινδυνεύοντας.

Καὶ νῦν, Θεοτοκίον.

Ἔχοντές σε οἱ πόθῳ, κλῆρον σου τὸν ἅγιον οἰκοῦντες Δέσποινα, μετὰ τοῦ Ὁσίου, ἄγρυπνόν τε προστάτην καὶ πρύτανιν, φάλαγγας δαιμόνων, ἀνδρειοφρόνως ἀπωθοῦμεν, εὐχαρίστως διό σε δοξάζομεν.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

Ὠδή, ϛ'. Τὴν θείαν ταύτην.

Ἁγνῶς βιῶσαι αἱρούμενος, ἐγκράτειαν ὡς ἄσαρκος ἤσκησας, στάσιν τε παννύχιον, εὐχὴν σοφὲ ἀδιάκοπον, πίστιν ἀληθεστάτην, θείαν ταπείνωσιν.

Καλῶν ἰδέαις κοσμούμενος, ὡς Ἄγγελος Θεοῦ ἐλειτούργησας, Νεῖλε μακάριε, καὶ μεταστὰς κατεσκήνωσας, μετὰ Ἀγγέλων Πάτερ θεομακάριστε.

Ἀγγέλους ἔχων συλλήπτορας, δαιμόνων ἀπεκρούσω φαντάσματα, καὶ ἀπροσκόπτως διώδευσας, Νεῖλε θεόφρον ψυχοσωτήριον.

Θεοτοκίον.

Ῥημάτων Κόρη Πανάμωμε, τοῦ θείου Γαβριὴλ ὡς ἀκήκοας, Λόγον συνέλαβες, ἐν τῇ ἀσπόρῳ νηδύϊ σου, καὶ ὑπὲρ λόγον τοῦτον ἄχραντε τέτοκας.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Λειμῶσι τῶν ἀρετῶν, μεμελημένος ἐνέκυψας, σὺν δάκρυσι δὲ αὐτοὺς, κατήρδευσας ὅθεν σοι, ἐδόθη τὰ δράγματα, τῆς ἀθανασίας, πρὸς Χριστοῦ Νεῖλε μακάριε.

Ψαλμοῖς καὶ ὕμνοις πιστοὶ, τοῦ ποταμοῦ τὰ ὁρμήματα, τοῦ Νείλου τοῦ νοητοῦ, τὰ λίαν εὐφραίνοντα, καρδίας ὡς γέγραπται, ἐν ᾠδαῖς αἰνοῦντες, τὴν χάριν ἀπαρυσώμεθα. Δόξα.

Ἀνέπτης πρὸς οὐρανὸν, πυρίνῳ ὥσπερ ἐν ἅρματι, ἰδέαις τῶν ἀρετῶν, Χριστῷ παριστάμενος, ἔνθεν αὐγαζόμενος, τὰς ἐκεῖθεν λάμψεις, καταπέμπεις τοῖς ὑμνοῦσί σε. Καὶ νῦν, Θεοτοκίον.

Ἱλάσθητι καὶ ἡμῖν, τοῖς καταργοῦσι τὸν κλῆρόν σου, καὶ ἀλλοτρίαν ὁδὸν, ἁγνὴ τῶν ὁσίων σου, ἀφρόνως ὁδεύουσι, καὶ πρὸς τὴν ἀρχαίαν, βηματίζειν καθοδήγησον.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Κοντάκιον, Ἦχος γ΄.

Ἡ Παρθένος σήμερον.

Ἡ ἐκ γῆς φανέρωσις, τῶν ἱερῶν σου λειψάνων, Νεῖλε συνεξέλαμψε, τῇ τοῦ Χριστοῦ Ἀναστάσει, τοῦτον γὰρ ἀεὶ ποθήσας θερμῶς ἐκ βρέφους, ἔλαβον τὰ σὰ ὀστέα τὴν τούτου χάριν, ὡς Χριστῷ συσταυρωθέντα, τῷ ἀναστάντι πρὸ αἰώνων Θεῷ.

## Ὁ Οἶκος.

Ὁ σοφῶς δημιουργήσας τὰ σύμπαντα, καὶ τὴν διὰ παραβάσεως φθαρεῖσαν φύσιν ἡμῶν, εἰς τὸ ἀρχαῖον ἀναμορφώσας κάλλος διὰ τῆς ἀναστάσεως τῆς ζωηφόρου σαρκὸς αὐτοῦ, ἐν τῷ καιρῷ τούτῳ τοῦ ἔαρος, τῷ καὶ φυσικῶς εἰκονίζοντι τὸν ἀνακαινισμὸν ἡμῶν, καὶ τὴν ἐσομένην ἀνάπλασιν καὶ ἀνάστασιν, ἐν τούτῳ εὐδοκῆσαι καὶ φανεῖναι, ἐν οὐρανοῖς ἐξαστράπτοντα τὸν τίμιον Σταυρὸν αὐτοῦ· οὗτος πάντας ᾠκονόμησε σήμερον, καὶ τὰ πολλοῖς ἔτεσιν ἐν γῇ κρυπτόμενα λείψανα, τοῦ θεράποντος Νείλου ἀναφανεῖναι, ἰαμάτων ἀκτῖνας ἐκπέμποντα, καὶ θαυμάτων βολὰς ἐξαστράπτοντα, καὶ ὡς ἄνθη καὶ ῥόδα τερπνά, ἀτμοὺς ἀερινοὺς καὶ πανευώδεις, τοῖς πιστοῖς ἐμπνέοντα, καὶ σαφῶς προμηνύοντα, ὡς καὶ ἡ ζωηφόρος Ἀνάστασις τοῦ Κυρίου, καὶ ὁ ἐν οὐρανοῖς φανεὶς λαμπρὸς αὐτοῦ Σταυρὸς προκαταγγέλουσι, καὶ ὁ φυσικὸς τῆς γῆς ἀνακαινισμὸς ἀφώνως διδάσκει, ὅτι οἱ συσταυρωθέντες καὶ συνταφέντες, καὶ μυστικῶς τῷ Χριστῷ συναναστάντες διὰ τοῦ βαπτίσματος, καὶ τὰς τούτων τηροῦντες μορφώσεις ἐν τῇ θνητῇ σαρκὶ αὐτῶν, ὡς ὁ θεοφόρος Νεῖλος διετήρησεν ἀνακαινισθήσονται, καὶ ἐξανθήσουσιν, καὶ ἐν οὐρανοῖς ἐξαστράψουσιν ὡς φωστῆρες, οἱ πιστῶς δουλεύσαντες Χριστῷ τῷ δημιουργῷ τοῦ παντός, καὶ

προαιωνίῳ Θεῷ.

Τῷ αὐτῷ Μηνὶ ἑβδόμῃ, μνήμη καὶ ἡ ἐν αὐτῇ συμβᾶσα εὕρεσις τῶν ἁγίων λειψάνων, τοῦ ὁσίου Πατρὸς ἡμῶν Νείλου τοῦ Ἀθωνίτου καὶ Μυροβλύτου.

Στίχοι

Νεῖλος ἄρδει νάμασι γῆν Αἰγυπτίων·
Ὁ δὲ μονασταὶ τοῦ Ἄθωνος ἀρδεύει.
Λάμψεν ἐν ἤματ' ἑβδομάτῳ Νειλῴοιος αἴγλη.
Καὶ τὰ λοιπὰ τοῦ Συναξαριστοῦ.

Ὠδὴ, ζ'. Οὐκ ἐλάτρευσαν.

Παραπλήσια, τὰ μύρα Νεῖλε πάνσοφε, ἐκ τοῦ σοῦ αἵματος, ταῖς τῶν ναμάτων ῥοαῖς, ἐξέβλυσαν ῥέοντα καὶ καταρδεύοντα, τοὺς κραυγάζοντας· ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἀγαπήσας σε, δικαίως ὃν ἠγάπησας, Θεὸς ὁ δίκαιος, διὰ καλῶν ἀμοιβαῖς, ἐνθέως ἠμείψατο Νεῖλε μακάριε, ὡς βοήσαντα· ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τῶν δακρύων σου, τὰ ῥεύματα δεξάμενος, ὁ παντοκράτωρ Θεὸς, ῥοαῖς ὁ αὐτὸς σαφῶς, ὁμοίως ἀμοίβεται, χάριν δωρούμενος, μύρων βλύσεσι, καὶ ἰαμάτων χάρισι, θεραπεύειν τοὺς νοσοῦντας.

Θεοτοκίον.

Ἐλεήμονα, τεκοῦσα μόνη Κύριον, θεοχαρίτωτε, τῇ οὖν αὐτοῦ πανσθενεῖ, δυνάμει οἰκτείρησον

ἁγνὴ Θεόνυμφε, τὸν βοῶντά σοι· εὐλογημένος Δέσποινα, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ἄλλος. Παῖδες Ἑβραίων.

Νέος Πάτερ ἐδείχθης ἄλλος, Νεῖλος ἀρετῶν αὐγαῖς, φωτίζων μονοτρόπους, ὥσπερ οὗτος ποτέ, ἐν τῷ Σινᾷ κραυγάζων· ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Εἷς τῶν φανέντων ἐν τῷ Ἄθῳ, πύργος μέγιστος ἐφάνης φωτοφόρος, τῶν ἐχθρῶν τὰς βουλὰς ἀπείργων ἐν τῷ μέλπειν· ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Ἴασιν δὸς ταῖς σαῖς πρεσβείαις, τοῖς τελοῦσί σου τὴν μνήμην τὴν φωσφόρον, ἐν τῷ τάφῳ τῷ σῷ, ἀγρύπνοις μελῳδίαις, καὶ μελῳδοῦσιν ἄπαυστα, ὁ Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν, Θεοτοκίον.

Λύσιν παράσχου μοι Παρθένε, δουλωθέντα με τοῦ βίου ταῖς ἀπάταις, καὶ πρὸς θείαν ζωήν, ὁδήγησον· ὑμνεῖν σε· εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Καταβασία. Ὁ Παῖδας ἐκ καμίνου ρυσάμενος.

Ὠδὴ, ή. Παῖδας εὐαγεῖς.

Ῥώμῃ θεϊκῇ τὰς παρατάξεις, δαιμόνων τὰς ὀλεθρίους ἐξηφάνισας, χάριν τε ἀπείληφας, παύειν

ἀρρωστήματα, καὶ ἐκδιώκειν πνεύματα, βοῶν ἀκάθαρτα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Βιώσας παμμάκαρ θεαρέστως, δικαίοις τὸν ὀφειλόμενον, ὕπνον νῦν κεκοίμησαι, καὶ πρὸς ἀτελεύτητον, μετεβιβάσθης Ὅσιε, βοῶν ἀπόλαυσιν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱστάμενος ἄνω τοῦ σπηλαίου, ὡς ἐπὶ λυχνίας λύχνος Ὅσιε, πάντων τὰ νοήματα, πίστει κατεφώτιζες, ὑποδεικνύων ἄριστα, Νεῖλε μακάριε, τὴν τρίβον τῆς ζωῆς καὶ ἀνάγων, τούτους θείῳ λόγῳ, πρὸς ὕψος ἀπαθείας.

Ὅρμῳ γαληνῷ νῦν προσωρμίσθης, τοῦ βίου πάντα τερπνὰ μισήσας Ὅσιε, εἶχες γὰρ ἰθύνοντα, πάσας τὰς πορείας σου, τὸν κυβερνήτην Κύριον, Νεῖλε τρισόλβιε, τὸν νεύματι τὸ πᾶν διοικοῦντα, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Νόων οὐρανίων ὑπερτέρα, ἐδείχθης ἁγνὴ Θεὸν κυοφορήσασα, τοῦτον οὖν ἱκέτευε, Δέσποινα παναμώμε, τῶν σαρκικῶν ἀνώτερον, γενέσθαι με πειρασμῶν, νοὸς ἐν ὑψηλῇ ταπεινώσει, τοῦτον ἀνυμνοῦντα, σὺν σοὶ εἰς τοὺς αἰῶνας.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Ἐν τῷ σπηλαίῳ ἄσπιλον, τῆς ψυχῆς περιβόλαιον, τὸ καρτερικὸν, καὶ ἀπαθὲς σαρκίον σου, ἐφάνη τηρούμενον, κατὰ παθῶν πανόλβιε, καὶ σωματικῶν, καὶ ψυχικῶν νοσημάτων, τὴν ῥῶσιν ἐξαστράπτων, τοῖς πιστῶς μελῳδοῦσι, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῶν ἰαμάτων χάριτας, σὴ σορὸς ἀναβλύζουσα, πᾶσαν νοσημάτων, καὶ παθῶν ἐπήρειαν, παντοίαν τε κάκωσιν, καὶ μαλακίαν ἅπασαν, πάντων θεραπεύει, τῶν πιστῶς μελῳδούντων· οἱ παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Εὐλογοῦμεν Πατέρα.

Ἀπαλλαγῆναι πρέσβευε, τὸν Σωτῆρα καὶ Κύριον, τοὺς προσπεφευγότας, τῷ ναῷ σου ἅγιε, καὶ τάφον κυκλοῦσί σου, καὶ τὴν μνήμην τελοῦσί σου, παντοίων ἐκ θλίψεων, δαιμόνων κακουργίας, καὶ πάσης ἐπηρείας, Χριστὸν ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν, Θεοτοκίον.

Μῆτερ Θεὸν κυήσασα, ὑπὲρ λόγον τὸν Κύριον, τοῦτον ὡς Υἱόν σου, Παναγία αἴτησαι, ἐν ὥρᾳ τῆς κρίσεως, τῆς καταδίκης καὶ τοῦ πυρὸς, σκότους ἀφεγγοῦς, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, λυτρώσασθαι τοὺς πίστει, εὐσεβῶς μελῳδοῦντας, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητή.

Ὠδή, θ. Ἅπας γηγενής.

Ὄντως οὐρανός, ὕψει πολιτείας σου, ὤφθης καὶ τάστερος, θαύμασι πανόλβιε, ὡς ἄλλοις ἄστροις καταστραπτόμενος, τῶν μοναζόντων Ὅσιε, καταλαμπρύνων ψυχάς, τῶν τιμώντων, Νεῖλε τοὺς ἀγῶνάς σου, καὶ τελούντων τὴν θείαν σου κοίμησιν.

Ἤδη τῷ Χριστῷ, ἐγγίζων τρανώτερον καὶ καθαρώτερον, μέμνησο τῶν πίστει σου, μνημονευόντων Νεῖλε μακάριε, ἁμαρτιῶν συγχώρησιν, ἡμῖν αἰτούμενος, νοσημάτων, πάντων ἀπολύτρωσιν, καὶ Θεοῦ βασιλείας οἰκείωσιν.

Σοῦ τὰ ἱερά, καὶ ἅγια λείψανα, ἐν θήκαις κείμενα, θάπτει τὰ νοσήματα, καὶ φλέγει ξίφη δαιμόνων πάντοτε, Νεῖλε θεομακάριστε, τῇ θείᾳ χάριτι, ἀναβλύζει, πᾶσι τὰ ἰάματα, τοῖς πιστῶς σε ἀεὶ μακαρίζουσιν. Θεοτοκίον.

Ἄφες μοι βοῶ, Θεὸν ἡ κυήσασα, ἁμαρτιῶν τὴν πληθύν, νέκρωσον τὸ φρόνημα, τὸ τῆς σαρκός μου, σύ μου τὸ καύχημα, ἰσχύς τε καὶ κραταίωμα, οἴκτειρον σῶσόν με, σωτηρία, πάντων σὺ ὑπάρχεις γάρ, Θεοτόκε ἁγνὴ ἀειπάρθενε.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ.

Ἐνθέου ἀπολαύων Πάτερ ζωῆς, ὑπὲρ ἧς ἠγωνίσω πρὸς δύναμιν, ἐπὶ τῆς γῆς, βίῳ διαπρέψας ἀγγελικῷ, καὶ μεταβὰς μακάριε, Νεῖλε πρὸς αὔλους

διαμονάς, σωθῆναι ἀθλοφόρε, δυσώπει τοὺς ἐν πίςει, ἐν τῷ ναῷ σου προσεδρεύοντας.

Λειμῶσι τῶν Ἀγγέλων ἐν οὐρανοῖς, τῷ τῶν ὅλων Θεῷ παριστάμενος, ἐπὶ τῆς γῆς, βρύει σου ὁ τάφος τὰς δωρεάς, ἐν ᾧ σεπτῶς κατέκειτο, σῶμά σου τὸ ἅγιον καὶ σεπτόν, τοῖς πόθῳ προσιοῦσι, καὶ φόβῳ ἁπτομένοις, Νεῖλε παμμάκαρ τῶν λειψάνων σου.

Δόξα.

Ἡμεῖς ἐν σοὶ καυχώμεθα εὐκλεῶς, οἱ ἐν Ὄρει τοῦ Ἄθω μονάζοντες, ὅτι ἡμῖν, ἔδειξέ σε Κύριος ἀληθῶς, προστάτην καὶ ὑπέρμαχον, Νεῖλε θεοφόρε πατὴρ ἡμῶν, διό σε ὡς προστάτην, ἡμῶν καὶ εὐεργέτην, καὶ προμηθέα μεγαλύνομεν.

Καὶ νῦν, Θεοτοκίον.

Ὠδάς σοι εὐχαρίστως πάντες ἡμεῖς, οἱ τῷ Ὄρει οἰκοῦντες προσφέρομεν, Μήτηρ Θεοῦ, ὅτι διασώζεις ἡμᾶς ἀεί, ἐκ πειρασμῶν καὶ θλίψεων, τρέφεις τε καὶ θάλπεις καὶ προνοεῖς, ἀλλ᾽ οὖν δεόμεθά σου, καὶ θείας βασιλείας, μετὰ τὸ τέλος καταξίωσον.

Καταβασία. Φωτίζου, φωτίζου.

Ἐξαποστειλάριον. Τοῖς μαθηταῖς συνέλθωμεν.

Ἐκ βρεφικῆς σε ἔλαβεν, ἡλικίας ὁ πλάστης, καὶ Πνεύματος εἰργάσατο, σκήνωμα τοῦ ἁγίου, ὅθεν φωστὴρ ἀνεδείχθης,

Νεῖλε τῶν μοναζόντων, ἐκ σκότους παραπτώσεων, ὁδηγῶν πρὸς τὸ φέγγος, τῶν τοῦ Θεοῦ, ἐνταλμάτων Ὅσιε καὶ προσάγων, Χριστῷ ὃν καθικέτευε, τοὺς ὑμνοῦντάς σε σῶσαι.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους· ἱστῶμεν Στίχους ϛ΄. καὶ ψάλλομεν τῆς Ἑορτῆς γ΄. καὶ τοῦ ἁγίου Στιχηρα Προσόμοια γ΄. Ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὡς θεϊκή τις σαφῶς οἰκονομία, ἡ κλῆσίς σου γέγονε, Νεῖλε μακάριε, ὡς γὰρ ἐκεῖνος τοῖς νάμασι, τοῦ ἔτους ὅλου, τὴν εὐκαρπίαν διατεκμαίρεται, οὕτω τοῖς ἰάμασι σὺ ἀναδέδειξαι, φῶς γὰρ σε κόσμῳ εἰς ἴασιν, ὡς εὐκαρπίαν, ἡ θεία χάρις ἐναπεφήνατο, λελαμπρυσμένον ταῖς ἀκτῖσι, τοῦ τρισηλίου φωτὸς πανσεβάσμιε, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὡς ἐν θαλάμῳ φωτὸς πεπληρωμένῳ, σπηλαίῳ παρέμεινας ὦ ἱερώτατε, κύκλῳ δὲ τούτου παρέστησας, ὥσπερ ἐνόπλους, ὑπασπιστὰς τὰς πράξεις σου Ὅσιε, ἐναποτειχίζοντας παρεμβολὰς τῶν παθῶν, ἐν τῷ νυμφῶνι δὲ ἤλασας, τῷ θείῳ μάκαρ, ᾧ παρρησίᾳ νῦν παριστάμενος, τῷ σῷ νυμφίῳ καὶ Θεῷ ἡμῶν, τῆς αὐ-

τοῦ ἐντρυφῶν ὡραιότητος, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὡς ἐξ ἀλήκτων πηγῶν ἐκ τῶν λειψάνων, ναοῦ καὶ τοῦ μνήματος, ἀεὶ τὴν χάριν ἀντλῶν, Νεῖλος ὁ θεῖος προτίθησιν, εἰς εὐωχίαν, τῆς τούτου μνήμης ἐν ᾗ ἠθροίσθημεν, τοὺς πάντας ἐν πνεύματι, χαρίτων θείων πληρῶν, δεῦτε λοιπὸν καὶ συνδράμωμεν, καὶ εὐλογίας, ἐκ τῶν τιμίων αὐτοῦ μετάσχωμεν, θείων λειψάνων καὶ δοξάσωμεν, τὸν ἐν ἁγίοις Χριστὸν τὸν Θεὸν ἡμῶν, δοξαζόμενον ὄντως, καὶ αὐτοῖς ἀναπαυόμενον.

Δόξα, Ἦχος πλ. α΄.

Σήμερον συνεξέλαμψεν ἡμῖν, τετρασήμαντος χαρμοσύνη, ἐαρινῆς χάριτος, ὡς ἐκ τεττάρων συγκροτουμένης χαρίτων· τῆς γὰρ πρώτης ἡμῶν χρονικῆς γεννήσεως, καὶ τῆς μελλούσης ἀνακαινίσεως, εἰκὼν ἀληθῶς ἐστι τὸ ἔαρ, ἀπαρχὴ καὶ πρωτότυπον τῆς μελλούσης, ἡ ζωηφόρος τοῦ Σωτῆρος Ἀνάστασις, καὶ πᾶσαι αἱ ὑπέρλαμπροι ἡμέραι αὗται· τῆς δ᾽ αὖ ἐσομένης δόξης τε καὶ λαμπρότητος, ἡ ἐν οὐρανῷ τοῦ Σταυροῦ λαμπρὰ σημαία, μεθ᾽ ὧν τὰ αὐτὰ συνεξεικονίζει σήμερον, ἡ ἐκ γῆς φανέρωσις τῶν εὐόσμων καὶ λαμπρῶν, τοῦ θείου Νείλου λειψάνων, ταῦτα ἡ-

μῖν τὰ καλὰ, Θεὸς συνεκλάμπει, ἐν τῇ ἑβδόμῃ ταύτῃ, τοῦ λαμπροτάτου τῶν μηνῶν ἡμέρᾳ, τὴν ἄδυτον καὶ ἀνέσπερον, Μωσαϊκὴν ἑβδόμην κηρύττουσα· δεῦτε οὖν ἀδελφοὶ, τῆς ἀλήκτου χαρᾶς ἐκείνης, τὰ προοίμια φαιδρῶς εὐφρανθῶμεν, καὶ ὑπογραμμὸν ἔχοντες, τὸν εἰς εὐφημίαν προκείμενον ἡμῶν πατέρα, τοῦτον μιμησάμενοι, εἰς οὐρανὸν ἀνατείνομεν τὸ ὄμμα, ἵνα σὺν αὐτῷ, καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν.

**Καὶ νῦν.** **Α**ναστάσεως ἡμέρα.

**Δοξολογία Μεγάλη,** καὶ **Ἀπόλυσις.**

---

**Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς ἡ γ'. Ὠδὴ, καὶ ἐκ τοῦ α'. Κανόνος τοῦ ἁγίου ἡ γ'. καὶ ἐκ τοῦ β'. ἡ ς'. Ὠδή· αἵτινες ἐγράφησαν ἐνταῦθα πρὸς εὐκολίαν.**

**Ὁ Κανὼν τοῦ ἁγίου Ὠδὴ γ'.**

**Ἦχος δ'. Τοὺς σοὺς ὑμνολόγους.**

**Ὁ**λόνυκτον Πάτερ ἱκεσίαν, ἀγρύπνῳ προσφέρων λογισμῷ, Θεῷ τῷ παντοκράτορι, πάθη σαρκὸς ἐκοίμησας, ὅθεν προστάτης ἄγρυπνος, πάντων ἡμῶν ἐχρημάτισας.

**Ν**εκρώσας τὰ μέλη ἐγκρατείᾳ, ἐζώωσας Πάτερ

τὴν ψυχὴν, ταῖς θείαις ἐπιδόσεσι, τῶν ἀρετῶν νευρούμενος, παντουργικαῖς δυνάμεσι, Νεῖλε τοῦ Ἄθω τὸ καύχημα.

Γευσθεὶς τοῦ Θεοῦ σοφῶν ῥημάτων, καὶ γνώσεως τούτου μετασχὼν, ἡσύχως διετέλεσας, τὴν σὴν ζωὴν τοῖς ὄρεσι, καὶ τοῖς σπηλαίοις ὅσιε, ταῖς κακουχίαις θλιβόμενος.

Θεοτοκίον.

Ἐλέους σου Κόρη ταῖς ῥανίσι, τοὺς ἄνθρακας σβέσον τῶν ἐμῶν, παθῶν θεοχαρίτωτε, καὶ ἐσβεσμένον ἄναψον, τὸν λύχνον τῆς καρδίας μου, χρυσῆ λυχνία ὑπάρχουσα.

Ὠδὴ, ϛ΄. Ἱλάσθητί μοι Σωτήρ. Ἦχος πλδ΄.

Λειμῶσι τῶν ἀρετῶν, μεμελημένος ἐνέκυψας, σὺν δάκρυσι δὲ αὐτοὺς, κατήρδευσας ὅθεν σοι, ἐδόθη τὰ δράγματα, τῆς ἀθανασίας, πρὸς Χριστοῦ Νεῖλε μακάριε.

Ψαλμοῖς καὶ ὕμνοις πιστοὶ, τοῦ ποταμοῦ τὰ ὁρμήματα, τοῦ Νείλου τοῦ νοητοῦ, τὰ λίαν εὐφραίνοντα, καρδίας ὡς γέγραπται, ἐν ᾠδαῖς αἰνοῦντες, τὴν χάριν ἀπαρυσώμεθα.

Δόξα.

Ἀνέπτης πρὸς οὐρανὸν, πυρίνῳ ὥσπερ ἐν ἅρματι, ἰδέαις τῶν ἀρετῶν, Χριστῷ παριστάμενος, ἔνθεν αὐγαζόμενος, τὰς ἐκεῖθεν λάμψεις,

καταπέμπεις τοῖς ὑμνοῦσί σε.

Καὶ νῦν Θεοτοκίον.

Ἱλάσθητι καὶ ἡμῖν, τοῖς καταργοῦσι τὸν κλῆρόν σου, καὶ ἀλλοτρίαν ὁδόν, ἁγνὴ τῶν ὁσίων σου, ἀφρόνως ὁδεύουσι, καὶ πρὸς τὴν ἀρχαίαν, βηματίζειν καθοδήγησον.

Εἶτα· Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου.

Ἀπολυτίκιον, Ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Μονάσας θεαρέστως ἐν τῷ Ὄρει τοῦ Ἄθωνος, ἐν προσευχαῖς καὶ νηστείαις, τὸν Θεὸν ἐξεζήτησας, καὶ γέγονας δοχεῖον καθαρόν, τοῦ Πνεύματος ἀστράπτων ταῖς αὐγαῖς, ἀρετῶν τὰς λαμπηδόνας, δι᾽ ὧν φωτίζεις Νεῖλε τοὺς βοῶντάς σοι· δόξα τῷ σὲ δοξάσαντι Θεῷ· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Ἕτερον, ὅμοιον.

Μοναστῶν πληθὺς πᾶσα, ἡ τὸν Ἄθω οἰκοῦντες, συνελθόντες τὴν μνήμην, ἐκτελέσωμεν πόθῳ, τοῦ Νείλου ἐν ᾄσμασι τερπνοῖς, τιμῶντες αὐτὸν χρεωστικῶς, θαυμασίων ἐξαισίων, καὶ διδαχῶν ἐνθέων ὡς ὄντα, ὑφηγητὴν βοῶντες· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ· δόξα τῷ μεγαλύναντι· δόξα τῷ τὴν σεπτήν σου μνή-

μὴν φαιδρύναντι.

**Κοντάκιον, Ἦχος γ'. Ἡ Παρθένος σήμερον.**

**Η** ἐκ γῆς φανέρωσις, τῶν ἱερῶν σου λειψάνων, Νεῖλε συνεξέλαμψε, τῇ τοῦ Χριστοῦ Ἀναστάσει, τοῦτον γὰρ ἀεὶ ποθήσας θερμῶς ἐκ βρέφους, ἔλαβον τὰ σὰ ὀστέα τὴν τούτου χάριν, ὡς Χριστῷ συσταυρωθέντα, τῷ ἀναστάντι πρὸ αἰώνων Θεῷ.

Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τοῦ ἁγίου Ἀντωνίου.

## Κοινωνικόν.

Εἰς μνημόσυνον αἰώνιον.

## Μεγαλυνάρια.

**Ν**εῖλον τὸν πηγάσαντα ἀληθῶς, νάματα δακρύων, καὶ κεράσαντα γλυκασμόν, τὴν σεπτὴν Τριάδα, ἐξ ἧς ἀντεκεράσθη, τὰ νάματα τῶν μύρων, ὕμνοις τιμήσωμεν.

**Η**ξες ὡς ἐξ Ὄρους ἐαρινοῦ, ἡδύπνοα φέρων, τῶν λειψάνων σου ὡς εἰπεῖν, ἀρώματα Πάτερ, μυρίζων τοὺς ἐν πίστει, καὶ πόθῳ σου τὴν μνήμην, Νεῖλε γεραίροντες.

Εἰς τὸν ἁγιασμόν.

**Τ**οὺς πιστῶς σου τὴν σορὸν ἀσπαζομένους, τοὺς ἱκέτας, καὶ σὲ λιτανεύοντας, Νεῖλε λιταῖς σου, κινδύνων ἀπάλλαξον.

ΙΕΡΟΜΟΝΑΧΟΣ
ΑΡΣΕΝΙΟΣ ΒΑΡΖΑΒΑΣ
ΟΔΟΝΤ...
ΚΑΡΥΑΙ ... ΟΡΟΣ